ἃ μέγαν κατ' οὐρανὸν
ναίεις εὐπατέρειαν αὐλάν,
Ζηνὸς πολύχρυσον οἶκον.
χαῖρέ μοι, ὦ καλλίστα
καλλίστα τῶν κατ' Ὄλυμπον
παρθένων, Ἄρτεμι.

ΙΠ. σοὶ τόνδε πλεκτὸν στέφανον ἐξ ἀκηράτου
λειμῶνος, ὦ δέσποινα, κοσμήσας φέρω,
ἔνθ' οὔτε ποιμὴν ἀξιοῖ φέρβειν βοτὰ
οὔτ' ἦλθέ πω σίδαρος, ἀλλ' ἀκήρατον
μέλισσα λειμῶν' ἠρινὴ διέρχεται·
Αἰδὼς δὲ ποταμίαισι κηπεύει δρόσοις,
ὅστις διδακτὸν μηδέν, ἀλλ' ἐν τῇ φύσει
τὸ σωφρονεῖν εἴληχεν ἐς τὰ πάνθ' ὁμῶς,
τούτοις δρέπεσθαι· τοῖς κακοῖσι δ' οὐ θέμις.
ἀλλ', ὦ φίλη δέσποινα, χρυσέας κόμης
ἀνάδημα δέξαι χειρὸς εὐσεβοῦς ἄπο.
μόνῳ γάρ ἐστι τοῦτ' ἐμοὶ γέρας βροτῶν·
σοὶ καὶ ξύνειμι καὶ λόγοις σ' ἀμείβομαι,
κλύων μὲν αὐδήν, ὄμμα δ' οὐχ ὁρῶν τὸ σόν.
τέλος δὲ κάμψαιμ' ὥσπερ ἠρξάμην βίου.

---

67 sq. ἃ..ναίεις *AEaBCl*, αἳ..ναίετ' *LP*, αἰγλάεντα κατ'..ναίουσ' Cobet  69 Ζανὸς Aldina (cfr. 63), fort. Δῖον  70 Hippolyti notam praefigunt *BCl* | fort. ὦ καλά  71 τῶν delet Nauck | ὀλύμπου *P* (in *L* litera post πο evanuit)  72 παρθένων Ἄρτεμι] θεῶν *C*, Ἄρτεμι παρθένων Fritzsche, verba delet Nauck  73 Hippolyti notam om. *C*, delevit *l*  76 οὔτ' Orion anth. III 3, οὐδ' libri | σίδαρος *AEacd* et superscr. η *B*, σίδηρος *CLP* | ἀκήρατον mut. in ἀκήρατος *E*  77 λειμῶνα *AEaBC* | ἐαρινὴ (ἠρινὴ Monk) ex schol. ἐαρινὴν δὲ αὐτὴν (scil. τὴν μέλισσαν) εἶπεν κτέ. Valckenaer (ἠρινὸς Jortin), ἐαρινὸν *AEaBC*, ἠρινὸν *LP*  79 sq. ὅστις] Porson, ὅσοις libri | ἀλλ' ἐν *L*, sed λ' ἐν in ras., fuerat fort. ἀλλὰ | εἰς τὰ πάνθ' ὅμως *AEa* (ὁμῶς $a^2$) *B*, ὡς τὰ πάνθ' ὁμῶς *C*, εἰς τὰ πάντ' ἀεί *LP* | ὅσοις et ἐς τὰ πάντ' ἀεί pertinent ad variationem Bacch. 316 conservatam ὅσοις ..τὸ σωφρονεῖν ἔνεστιν ἐς τὰ πάντ' ἀεί et fort. poeta scripsit ὅσοις ἐπακτὸν μηδέν, ἀλλ' ἐν τῇ φύσει τὸ σωφρονεῖν ἔνεστιν ἐς τὰ πάντ' ἀεί  81 τούτοισι *B* | δρέπεσθαι *a* γρ. ἕπεσθαι $a^3$  82 κόμας *C*  83 ἄνδημα Blomfield  84 βροτῶν γέρας *C*  85 λόγοις σ' *c*, λόγοισ' *A*, λόγοις (omisso σ') *EaBCLP*  86 αὐδὴν *AaB* et ν ex ς correcto *C*, αὐδὴν *E* (ῆς superscr. alia m.), αὐδῆς *P*, αὐδὴν *L*, sed ὴν in ras. | ὁρῶν *EaP* et si non ῶν ex ῶ correxit secunda manus, *L*, ὁρῶ *ABC*  87 ηὐξάμην *C*